πρὸς ταῦτα συστέλλου σεαυ-
τήν, εὖ περισκοπουμένη
τἀνθένδε καὶ τἀκεῖσε καὶ
τἀκ δεξιᾶς, μὴ ξυμφορὰ τὸ πρᾶγμά σοι γένηται.
ΗΜΙΧ. Αβ. ἀλλ' ἐγκονῶμεν· τοῦ τόπου γὰρ ἐγγύς ἐσμεν ἤδη
ὅθενπερ εἰς ἐκκλησίαν ὡρμώμεθ', ἡνίκ' ᾖμεν·
τὴν δ' οἰκίαν ἔξεσθ' ὁρᾶν ὅθενπερ ἡ στρατηγὸς
ἔσθ' ἡ τὸ πρᾶγμ' εὑροῦσ' ὃ νῦν ἔδοξε τοῖς πολίταις.
ΗΜΙΧ. Βα. ὥστ' εἰκὸς ἡμᾶς μὴ βραδύνειν ἔστ' ἐπαναμε-
νούσας,
πώγωνας ἐξηρτημένας,
μὴ καί τις ἐξόπισθεν ᾖ χἠμῶν ἰδὼν κατείπῃ.
ἀλλ' εἶα δεῦρ' ὑπὸ σκιὰς
ἐλθοῦσα πρὸς τὸ τειχίον,

483—492 = 493—503

ADNOTATIO CRITICA.

v. 487 εὖ Bentleius. — v. 487b τἀνθένδε καὶ supplevit Cobetus. — τἀκεῖσε Faber. — v. 488 τὸ πρᾶγμά σοι γένηται. e coniectura scripsi (idem inter alia proposuit Blaydesius.) — v. 490 ὡρμώμεθ' Portus. — v. 495 ἐξόπισθεν ᾖ e coniectura quamvis admodum incerta scripsi. — ἰδὼν Meinekius. — v. 496 ὑπὸ σκιὰς Bachmannus.

SCRIPTURAE DISCREPANTIA.

v. 486 σεαυτήν,] σεαυτήν : Γ | εὖ] καὶ RΓN om. B | περισκοπουμένη] περὶ σκοπουμένη R || v. 487 τἀνθένδε καὶ] omm. RBΓN | τἀκεῖσε] κακεῖσε R κἀκεῖσε BΓN || v. 488 καὶ τἀκ δεξιᾶς] καὶ τακ' δεξιᾶς R καὶ τά τ' ἐκ δεξιῶν B καὶ τά τ' ἐκ δεξιᾶς Γ καὶ τὰ τ' ἐκ δεξιᾶς N | ξυμφορὰ] ξυμφορᾶ R | τὸ πρᾶγμά σοι γένηται] γενήσεται τὸ πρᾶγμα RΓN γένηται τὸ πρᾶγμα B || v. 489 ΗΜΙΧ. Αβ.] omm. RBΓN | ἐγγύς ἐσμεν] ἐγγὺς ἐσμὲν RBΓN || v. 490 ὅθενπερ] ὅθενπερ R | ἐκκλησίαν] ἐκλησίαν R | ὡρμώμεθ'] ὁρμώμεθ' RN ὁρμώμεθα BΓ | ᾖμεν] ἧμεν R ἦμεν ΓN || v. 491 οἰκίαν] ο κίαν ras. corr. ex οἰκίαν R | ὁρᾶν] ὁρᾶν Γ | ἡ] corr. ex ὁ B | στρατηγὸς] corr. ex στρατηγός R | v. 492 ἡ] ἣ N | πρᾶγμ'] πρᾶγμα Γ | εὑροῦσ'] ευροῦσα R εὑροῦσα ΓN || v. 493 ΗΜΙΧ. Βα.] omm. RBΓN | ἡμᾶς] omm. BΓ | inter εἰκὸς et μὴ supra versum scripsit: ἐστι prima manus in B | ἔστ'] om. B || v. 495 μὴ καί τις] μὴ κε τις R | ἐξόπισθεν ᾖ] ὄψεθ' ἡμᾶς R ὄψαιτο ἡμᾶς BΓ ὄψεθ' ἡμᾶς N | χἠμῶν] χ' ἡμῶν RΓN χἠμῶν B | ἰδὼν] ἴσως RN εἴσω B ἴσω Γ | κατείπῃ] κατέπτη BΓN || v. 496 εἶα] εἴα BΓN (εἶα R) | ὑπὸ σκιὰς] ἐπὶ (ἐπι R) σκιᾶς RΓN ἐπὶ σκιᾶ B

παραβλέπουσα θατέρῳ,
πάλιν μετασκεύαζε σαυτὴν αὖθις ἥπερ ἦσθα.
ΗΜΙΧ. Ββ. *καὶ μὴ βράδυν'· ὡς τήνδε καὶ δὴ τὴν στρατη-*
γὸν ἡμῶν
χωροῦσαν ἐξ ἐκκλησίας ὁρῶμεν. ἀλλ' ἐπείγου
ἅπασα καὶ μίσει σάκον πρὸς τοῖν γνάθοιν ἔχουσα·
χαὖται γὰρ ἥκουσιν πάλιν τὸ σχῆμα τοῦτ' ἔχουσαι.
ΠΡΑ. *ταυτὶ μὲν ἡμῖν, ὦ γυναῖκες, εὐτυχῶς*
τὰ πράγματ' ἐκβέβηκεν ἁβουλεύσαμεν.
ἀλλ' ὡς τάχιστα, πρίν τιν' ἀνθρώπων ἰδεῖν,
ῥιπτεῖτε χλαίνας, ἐμβὰς ἐκποδὼν ἴτω,
βακτηρίας ἄφεσθε· καὶ μέντοι σὺ μὲν
χάλα συναπτοὺς ἡνίας πωγωνικάς·

ADNOTATIO CRITICA.

v. 502 *τοῖν* Meinekius. — *ἐπόντα* scripserim pro *ἔχουσα* codicum, sed retinet me Plutus 645 *φιλεῖς δὲ δρῶσ'*. — v. 503 *πάλιν* Dobraeus, sed, etsi mihi *τοῦτ'* cum *πάλιν* coniunctum offensionem non movet, tamen nescio, an *πάλαι* retinendum et versus scribendus sit: *χαὖται γὰρ ἥκουσιν πάλαι τὸ σχῆμα μεταβαλοῦσαι·* (Nunc video idem coniecisse Wecklinium.) — v. 509 ante v. 508 transposui, ceterum Praxagora *σὺ μὲν* verbis eam mulierem alloquitur, quae coryphaei partes agit. — v. 508 *πωγωνικάς* Otto Schneider cfr. Vesp. 1132 *τριβωνικῶς*. Corruptela *λακωνικάς* inde nata est, quod ad verba v. 507 *ἐμβὰς ἐκποδὼν ἴτω* adscriptum erat interpretamentum: *ἀποδύεσθε τὰς λακωνικάς*. cfr. vv 345, 269, 74.

SCRIPTURAE DISCREPANTIA.

v. 498 *παραβλέπουσα*] *παρὰ βλέπουσα* R | *θατέρῳ*] *θατέρω* ΒΓΝ ‖ v. 499 *μετασκεύαζε*] *μετὰ σκεύαζε* R | *ἥπερ*] *ὅπερ* Β *ἤπερ* Γ ‖ v. 500 ΗΜΙΧ. Ββ.] omm. RΒΓΝ | *βράδυν'*] *βράδυνε* RΒΓΝ | *τήνδε*] *τῆν δὲ* R *τὴν δε* Β | *ἡμῶν*] *ἥμων* Ν ‖ v. 501 *ἐξ ἐκκλησίας*] *ἐξεκκλησίας* R | *ἐπείγου*] *ἐπείγου* ∼ Γ ‖ v. 502 *ἅπασα*] *ἅπασα:* Γ | *πρὸς τοῖν*] *προσταῖν* R *πρὸς ταῖν* ΒΓΝ ‖ v. 503 *χαὖται*] *χ' αὖται* R *χαὖται* Β *χ' αὐται* Ν | *πάλιν*] *πάλαι* RΒΓΝ ‖ v. 504 ΠΡΑ.] omm. ΒΓ | *μὲν ἡμῖν, ὦ γυναῖκες,*] *μὲν ὦ γυναῖκες* (hoc corr. ex *γυναῖγυκες*) *ἡμῖν* (corruptela sic orta est: *ταυτὶ*
β γ α
μὲν ὦ γυναῖκες ἡμῖν) R ‖ v. 505 *ἁβουλεύσαμεν*] *ἃ βουλεύσαμεν* R *ἃ 'βουλεύσαμεν* ΒΓΝ ‖ v. 506 *πρίν τιν'*] *πρὶν τίν'* Γ ‖ vv. 507—510 in codicibus ordo is est, quem numeri indicant supra in margine appicti ‖ v. 507 *χλαίνας*] *χλαῖνας* Ν | *ἐκποδὼν*] *ἐκποδῶν* RΓΝ | *ἴτω*] *ἴτω* R ‖ v. 509 *μέντοι*] *μὲν τοι* Γ ‖ v. 508 *συναπτοὺς*] *συνάπτουσ'* R corr. in *συναπτοῦσ'* R² *συνάπτουσ'* est in Β | *πωγωνικάς*] *λακωνικας* R *λακωνικὰς* ΒΝ *λακωνικάς* Γ

ταύτας κατευτρέπιζ'· ἐγὼ δὲ βούλομαι
εἴσω παρερπύσασα, πρὶν τὸν ἄνδρα με
ἰδεῖν, καταθέσθαι θοἰμάτιον αὐτοῦ πάλιν
ὅθενπερ ἔλαβον τἄλλα θ' ἁξηνεγκάμην.

ΚΟΡ. κεῖται καὶ δὴ πάνθ' ἅπερ εἶπας· σὸν δ' ἔργον τἄλλα διδάσκειν,
ὅ τι σοι δρῶσαι ξύμφορον ἡμεῖς δόξομεν ὀρθῶς ὑπακούειν.
οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ' οἶδα γυναικί.

ΠΡΑ. περιμείνατέ νυν, ἵνα τῆς ἀρχῆς, ἣν ἄρτι κεχειροτόνημαι,
ξυμβούλοισιν πάσαις ὑμῖν χρήσωμαι. καὶ γὰρ ἐκεῖ μοι
ἐν τῷ θορύβῳ καὶ τοῖς δεινοῖς ἀνδρειόταται γεγένησθε.

ΒΛΕ. αὕτη, πόθεν ἥκεις, Πραξαγόρα; ΠΡΑ. τί δ', ὦ μέλε,

ADNOTATIO CRITICA.

v. 514 κεῖται καὶ δὴ Dobraeus.

SCRIPTURAE DISCREPANTIA.

v. 510 κατευτρέπιζ'] κατευτρέπιζε Γ ‖ v. 511 πρὶν τὸν ἄνδρα με] πρὶν τὸν ἄνδρά με R πρὶν τι δρᾶν ἐμέ B ‖ v. 512 θοἰμάτιον] θοιμάτιον RΓ θοἱμάτιον B θ' οἱμάτιον N ‖ v. 513 τἄλλα θ'] τἄλλά θ' R τᾶλλα θ' Γ τ' ἄλλα θ' N | ἁξηνεγκάμην] ἀξηνεγκάμην R ἃ ξυνέκαμεν B ἃ ξυνενεγκάμην Γ ἃ 'ξηνέγκαμεν N ‖ v. 514 ΚΟΡ.] χορὸς RN omm. BΓ | καὶ] omm. RBΓN | δὴ πάνθ'] δὲ πάνθ' B | τἄλλα] τ' ἄλλα N ‖ v. 515 ξύμφορον] συμφέρον (in ras., sed a prima manu est ον) B ξυμφέρον Γ ‖ v. 516 οὐδεμιᾷ] οὐδεμιᾶ R οὐδεμία BΓ οὐδὲ μιᾶ N | δεινοτέρᾳ] δεινοτέρα BΓN | ξυμμίξασ'] συμμίξασ' (in ras., sed a prima manu est posterius σ') B ξυμμίξας Γ | οἶδα γυναικί] οἶδανναικί (sic) N ‖ v. 517 ΠΡΑ.] omm. RBΓ | περιμείνατέ νυν] περὶ μείνατε νῦν R παραμείνατε νῦν BΓ περιμείνατε νῦν N | ἣν] ἥν R ‖ vv. 518—522 his vocabulis terminantur: θορύβῳ | γεγένησθε | Πραξαγόρα | εὐηθικῶς B θορύβῳ | αὕτη | Πραξαγόρα | εὐηθικῶς Γ ‖ v. 518 πάσαις] ἁπάσαις BΓN | ὑμῖν] ἡμῖν N | χρήσωμαι] χρήσομαι N ‖ v. 519 τῷ θορύβῳ] τῶ θορύβω BN ‖ v. 520 ΒΛΕ.] — R ὁ ἀνὴρ N omm. BΓ | κ in ἥκεις] in ras. est, sed a prima manu B | ΠΡΑ.] : R omm. BΓ

σοὶ τοῦθ'; ΒΛΕ. ὅ τί μοι τοῦτ' ἔστιν; ὡς εὐηθικῶς.
ΠΡΑ. οὔ τοι παρά του μοιχοῦ γε φήσεις. ΒΛΕ. οὐκ ἴσως
ἑνός γε. ΠΡΑ. καὶ μὴν βασανίσαι σοι τουτογὶ
ἔξεστι. ΒΛΕ. πῶς; ΠΡΑ. εἰ τῆς κεφαλῆς ὄζω μύρου.
ΒΛΕ. τί δ'; οὐχὶ βινεῖται γυνὴ κἄνευ μύρου;
ΠΡΑ. οὐ δῆτα, τάλαν, ἔγωγε. ΒΛΕ. πῶς οὖν ὄρθριον
ᾤχου σιωπῇ θοἰμάτιον λαβοῦσά μου;
ΠΡΑ. γυνή μέ τις νύκτωρ ἑταίρα καὶ φίλη
μετεπέμψατ' ὠδίνουσα. ΒΛΕ. κᾆτ' οὐκ ἦν ἐμοὶ
φράσασαν ἰέναι; ΠΡΑ. τῆς λεχοῦς δ' οὐ φροντίσαι,
οὕτως ἐχούσης, ὦνερ; ΒΛΕ. εἰποῦσάν γ' ἐμοί.

ADNOTATIO CRITICA.

v. 521 τοῦθ' Aldina. — v. 522 παρά του scripsi pro παρὰ τοῦ cfr. Acharnenses v. 415 (apud Meinekium). — v. 523 βασανίσαι σοι τουτογὶ Elmsleius. — v. 526 οὐ δῆτα, τάλαν, ἔγωγε. Reiskius.

SCRIPTURAE DISCREPANTIA.

v. 521 σοὶ] σοι R σοί Γ | τοῦθ'] τοῦτο RBΓN | ΒΛΕ.] ἀνὴρ N omm. RBΓ | ὅ τί] ὅτι RBN | ἔστιν] εστιν R ἐστὶν BN | ὡς] πρᾳ (ξ supra) ὡς N ‖ v. 522 ΠΡΑ.] omm. RBΓN | παρά του] παρὰ τοῦ RBΓN | μοιχοῦ] μοι R χοῦ supra versum adscripsit R^2 | ΒΛΕ.] : R ἀνὴρ N omm. BΓ | οὐκ] οὐκ' R ‖ v. 523 ἑνός] omisit in lacuna prima manus, supplevit tertia illa, quae et ipsa atramento usa est, in N | ΠΡΑ.] : R omm. BΓ | βασανίσαι] βασανῖσι N | σοι τουτογὶ] τουτὶ γέ σοι RBN τουτί γέ σοι Γ ‖ v. 524 ΒΛΕ.] : R ἀνὴρ N omm. BΓ | ΠΡΑ.] : R omm. BΓ ‖ v. 525 om. R, in margine inferiore adscr. R^2 | ΒΛΕ.] ἀνὴρ N omm. R^2BΓ | τί δ'; οὐχὶ] τί δ' οὐχὶ R^2BΓN | κἄνευ] ἄνευ BΓ | μύρου] μοίρου R^2 ‖ v. 526 ΠΡΑ.] — R omm. BΓ | οὐ δῆτα, τάλαν] οὐ δὴ (δή N) τάλαιν' RBΓN | ΒΛΕ.] : R ἀνὴρ N omm. BΓ | ὄρθριον] ὄρθριον — R ‖ v. 527 ᾤχου] ὤχου BN | σιωπῇ] σὺ καὶ πῇ B σιπῇ Γ σιωπῆ N | θοἰμάτιον] θοιμάτιον RΓN θοἱμάτιον B | λαβοῦσά] λαβοῦσα B | μου] μοι BΓN ‖ v. 528 ΠΡΑ.] — R omm. BΓ | γυνή] γυνὴ RB | ἑταίρα] ἑταῖρα RN | φίλη] φίλη ∸ Γ ‖ v. 529 ΒΛΕ.] : R ἀνὴρ N omm. BΓ | κᾆτ'] κἆτ' R κᾆτ' BΓN | ἦν] ἦν Γ ‖ v. 530 φράσασαν] φράσουσαν N | ΠΡΑ.] : R omm. BΓ | λεχοῦς] λέχουσ' R | δ' οὐ] δ' ἦν B ‖ v. 531 ὦνερ] ὤ 'νερ B ὦ ''νερ ΓN | ΒΛΕ.] : R ανηρ N omm. BΓ | εἰποῦσάν] εἰποῦσαν BΓN | γ' ἐμοί] γέ μοι BΓN (γ' εμοὶ R)

ἀλλ' ἔστιν ἐνταυθὶ κακόν τι. *ΠΡΑ.* μὰ τὼ θεώ,
ἀλλ' ὥσπερ εἶχον ᾠχόμην· ἐδεῖτο δὲ
ἧπερ μεθῆκέ μ' ἐξιέναι πάσῃ τέχνῃ.
ΒΛΕ. εἶτ' οὐ τὸ σαυτῆς ἱμάτιον ἐχρῆν σ' ἔχειν;
ἀλλ' ἔμ' ἀποδύσασ', ἐπιβαλοῦσα τοὔγκυκλον,
ᾤχου καταλιποῦσ' ὡσπερεὶ προκείμενον,
μόνον οὐ στεφανώσασ' οὐδ' ἐπιθεῖσα λήκυθον.
ΠΡΑ. ψῦχος γὰρ ἦν, ἐγὼ δὲ λεπτὴ κἀσθενής·
ἔπειθ' ἵν' ἀλεαίνοιμι, τοῦτ' ἠμπεσχόμην·
σὲ δ' ἐν ἀλέᾳ κατακείμενον καὶ στρώμασιν
κατέλιπον, ὦνερ. *ΒΛΕ.* αἱ δὲ δὴ Λακωνικαὶ
ᾤχοντο μετὰ σοῦ κατὰ τί χἠ βακτηρία;
ΠΡΑ. ἵνα θοἰμάτιον σώσαιμι, μεθυπεδησάμην

ADNOTATIO CRITICA.

v. 532 ἐνταυθὶ Bothius. — κακόν τι Cobetus. — v. 540 ἠμπεσχόμην grammaticus in Bekkeri anecdotis.

SCRIPTURAE DISCREPANTIA.

v. 532 ἐνταυθὶ κακόν τι] ἐνταῦθά (ἐνταῦθα *ΒΓ*) τι (τί *Β*) κακόν (κακὸν *ΒΓ*) *RΒΓΝ* | *ΠΡΑ.*] : *R* omm. *ΒΓ* ‖ v. 533 ᾠχόμην] ὠχόμην *ΒΝ* ‖ v. 534 ἧπερ] ἥπερ *R* | μεθῆκέ μ'] μεθῆκε μ' *ΒΓΝ* | πάσῃ τέχνῃ] πάση τέχνη *ΒΝ* ‖ v. 535 *ΒΛΕ.*] ὁ ἀνήρ: *R* ἀνὴρ *Ν* omm. *ΒΓ* | εἶτ' οὐ τὸ] εἰ τοῦτο *ΓΝ* | ἱμάτιον] ἱμάτιόν γ' *Β* | ἐχρῆν σ'] ἐχρῆν *Β* σ' ἐχρῆν *Γ* | ἔχειν;] corr. in ἔχειν· (sic) *R* ‖ v. 536 ἔμ'] ἐμ̃ (sic) *Ν* | ἀποδύσασ'] ἀποδύσας *R* ἀποδύσασά σ' *Ν* | ἐπιβαλοῦσα] ἐπιλαβοῦσα *Ν* | τοὔγκυκλον] τοὐγκυκλον *R* τοῦ κύκλου *Β* τοῦ κύκλον *Γ* ‖ v. 537 ᾤχου] ὤχου *ΒΓΝ* | in καταλιποῦσ'] ι in ras. est, sed a prima manu in *Β* κατὰ λιποῦσ' est in *R* | ὡσπερεὶ] ὥσπερει' *RΓ* ὡσπερεὶ corr. prima manus ex ὥσπερεὶ in *Ν* ‖ v. 538 μόνον οὐ] μονονοὺ *Β* | φ in στεφανώσασ'] in ras. est, sed a prima manu in *Β* | λήκυθον] λύκηθον *Ν* ‖ v. 539 *ΠΡΑ.*] om. *R* — add. R^2 omm. *ΒΓ* | ψῦχος] ψύχος *RΒΓΝ* | ἦν] ἠν *Γ* | κἀσθενής] κ' ἀσθενὴς *R* ‖ v. 540 ἵν' ἀλεαίνοιμι] ἵνα λεαίνοιμι *Ν* (ἵν' αλεαίνοιμι *R*) | ἠμπεσχόμην] ημπισχόμην *R* ἠμπισχόμην *ΒΝ* ἠμπισχημένον *Γ* ‖ v. 541 σὲ] σέ *Γ* | δ' ἐν ἀλέᾳ] δ' ἐν ἀλέα *ΒΓ* δ' ἐναλέα *Ν* | ω in στρώμασιν] in ras. est, sed a prima manu in *Β* ‖ v. 542 κατέλιπον] κατέλειπον *R* | ὦνερ] ὤνερ *R* ὦ 'νερ (in ras., sed a prima manu est ερ) *Β* ὦ "νερ *ΓΝ* | *ΒΛΕ.*] : *R* ἀνὴρ *Ν* omm. *ΒΓ* | αἱ] in ras., sed a prima manu in *Β* ‖ v. 543 ᾤχοντο] ὤχοντο *ΒΝ* | μετὰ σοῦ] μετασοῦ *R* | κατὰ τί χἠ] κατὰ τί χ' ἡ *R* κἄστι χή *Β* κἄστι χ' ἡ *Γ* κατίσχ' ἡ *Ν* ‖ v. 544 *ΠΡΑ.*] om. *R* — add. R^2 omm. *ΒΓ* | θοἰμάτιον] θοιμάτιον *RΓΝ* θοίμάτιον *Β* | μεθυπεδησάμην] μεθ' ὑπεδησάμην *R*

μιμουμένη σε καὶ κτυποῦσα τοῖν ποδοῖν
καὶ τοὺς λίθους παίουσα τῇ βακτηρίᾳ.
ΒΛΕ. οἶσθ' οὖν ἀπολωλεκυῖα πυρῶν ἑκτέα,
ὃν χρῆν ἔμ' ἐξ ἐκκλησίας εἰληφέναι;
ΠΡΑ. μὴ φροντίσῃς· ἄρρεν γὰρ ἔτεκε παιδίον.
ΒΛΕ. ἠκκλησία; ΠΡΑ. μὰ Δί', ἀλλ' ἐφ' ἣν ἐγᾠχόμην.
ἀτὰρ γεγένηται; ΒΛΕ. ναὶ μὰ Δί'. οὐκ ᾔδησθά με
φράσαντά σοι χθές; ΠΡΑ. ἄρτι γ' ἀναμιμνήσκομαι.
ΒΛΕ. οὐδ' ἄρα τὰ δόξαντ' οἶσθα; ΠΡΑ. μὰ Δί' ἐγὼ
μὲν οὔ.
ΒΛΕ. κάθησο τοίνυν σηπίας μασωμένη.
ὑμῖν δέ φασι παραδεδόσθαι τὴν πόλιν.
ΠΡΑ. τί δρᾶν; ὑφαίνειν; ΒΛΕ. οὐ μὰ Δί', ἀλλ' ἄρχειν.
ΠΡΑ. τίνων;
ΒΛΕ. ἁπαξαπάντων τῶν κατὰ πόλιν πραγμάτων.

ADNOTATIO CRITICA.

v. 550 ἐγᾠχόμην Reisigius. — v. 551 ᾔδησθα Brunckius.

SCRIPTURAE DISCREPANTIA.

v. 545 σε] σὲ, *B* ‖ v. 546 τῇ βακτηρίᾳ] τῆ βακτηρία *BN* ‖ v. 547 *ΒΛΕ.*] om. *R* — add. *R*² ἀνὴρ *N* omm. *ΒΓ* | ἑκτέα] ἑκτέον *B* ἐκτέα *ΓN* (ἔκτεα *R*) ‖ v. 548 ὃν] ὃ *B* | χρῆν] χρὴν *N* | ἔμ'] ἐμὲ *N* ‖ ἐξ ἐκκλησίας] εξεκκλησίας *R* 'ξ ἐκκλησίας *N* ‖ v. 549 *ΠΡΑ.*] om. *R* — add. *R*² omm. *ΒΓ* | φροντίσῃς] φροντίσης *ΒΓN* | ἔτεκε] ἔτεκεν *R* ‖ v. 550 *ΒΛΕ.*] ἀνὴρ *N* omm. *RΒΓ* | ἠκκλησία] ἡ 'κκλησία (in ras., sed a prima manu est alterum κ) *B* ἡ ἐκκλησία *Γ* ἡ 'κκλησία *N* | *ΠΡΑ.*] : *R* omm. *ΒΓ* | ἐφ' ἣν] ἔφην *N* (εφ·ἣν *R*) | ἐγᾠχόμην] ἔγ' ᾠχόμην *R* 'γὼγ' ᾠχόμην *B* ἔγωγ' ᾠχόμην *ΓN* ‖ v. 551 ἀτὰρ] αὐτάρ *Γ* | ἐν in γεγένηται] in ras. est, sed a prima manu in *B* | *ΒΛΕ.*] : *R* ἀνὴρ *N* omm. *ΒΓ* | οὐκ] οὐκ' *R* | ᾔδησθά με] ἤδεισθά με *RBN* ᾔδεισθα με *Γ* ‖ v. 552 *ΠΡΑ.*] : *R* omm. *ΒΓ* ‖ v. 553 *ΒΛΕ.*] ἀνὴρ *N* omm. *RΒΓ* | τὰ δόξαντ'] τὴν δόξαν των *Γ* | *ΠΡΑ.*] : *R* omm. *ΒΓ* ‖ v. 554 *ΒΛΕ.*] — *R* ἀνὴρ *N* omm. *ΒΓ* ‖ v. 555 δέ φασι] δὲ φασὶ *ΒΓN* | παραδεδόσθαι] corr. ex παρὰ δεδόσθαι in *R* παραδιδόσθαι est in *N* ‖ v. 556 *ΠΡΑ.*] — *R* omm. *ΒΓ* | τί] τι *R* | *ΒΛΕ.*] : *R* ἀνὴρ *N* omm. *ΒΓ* | οὐ μὰ] οὔ μα *R* οὒ μὰ *ΒΓN* | ἀλλ'] in ras. est, sed a prima manu in *B* | *ΠΡΑ.*] : *R* omm. *ΒΓ* | τίνων] τίνος *N* ‖ v. 557 *ΒΛΕ.*] — *R* ἀνὴρ *N* omm. *ΒΓ* | ἁπαξαπάντων] ἅπαξ ἁπάντων *R* | κατὰ πόλιν] καταπόλιν *R* κατὰ τὴν πόλιν *B*

ΠΡΑ. νὴ τὴν Ἀφροδίτην μακαρία τἄρ' ἡ πόλις
ἔσται τὸ λοιπόν. ΒΛΕ. κατὰ τί; ΠΡΑ. πολλῶν εἵνεκα.
οὐ γὰρ ἔτι τοῖς τολμῶσιν αὐτὴν αἰσχρὰ δρᾶν
ἔσται το λοιπὸν οὐδάμ', οὐδὲ μαρτυρεῖν,
οὐ συκοφαντεῖν ΒΛΕ. μηδαμῶς πρὸς τῶν θεῶν
τουτὶ ποιήσῃς μηδ' ἀφέλῃ μου τὸν βίον.
ΑΝ. Α. ὦ δαιμόνι' ἀνδρῶν, τὴν γυναῖκ' ἔα λέγειν.
ΠΡΑ. μὴ λωποδυτῆσαι, μὴ φθονεῖν τοῖς πλησίον,
μὴ γυμνὸν εἶναι, μὴ πένητα μηδένα,
μὴ λοιδορεῖσθαι, μὴ 'νεχυραζόμενον φέρειν.
ΑΝ. Α. νὴ τὸν Ποσειδῶ, μεγάλα γ', εἰ μὴ ψεύσεται.
ΠΡΑ. ἀλλ' ἀποφανῶ τοῦθ', ὥστε σέ τέ μοι μαρτυρεῖν,
καὶ τοῦτον αὐτὸν μηδὲν ἀντειπεῖν ἔχειν.

ADNOTATIO CRITICA.

v. 558 τἄρ' Bergkius. — v. 561 λοιπὸν οὐδάμ', οὐδὲ μαρτυρεῖν Blaydesius. — v. 564 ΑΝ. Α. praef. Bergkius. — v. 569 ὥστε σέ τέ μοι μαρτυρεῖν Bergkius. — v. 570 ἔχειν Dindorfius.

SCRIPTURAE DISCREPANTIA.

v. 558 ΠΡΑ.] om. R — add. R^2 omm. ΒΓ | μακαρία] μακαρίά R | τἄρ'] γ' ἄρ' R γὰρ ΒΓΝ ‖ v. 559 λοιπόν] corr. ex λοιπὸν in R | ΒΛΕ.] : R ἀνὴρ Ν | ΠΡΑ.] : R | εἵνεκα] οὕνεκα R corr. in οὕνεκα R^2 οὕνεκα est in Ν | omissa sunt verba a ΒΛΕ. κατὰ τί (v. 559) usque ad λοιπὸν incl. (v. 561) in ΒΓ ‖ v. 561 οὐδάμ', οὐδὲ] οὐδαμοῦ δὲ RΒΓΝ ‖ v. 562 ΒΛΕ.] : R ἄλλος βλέπυρος ἐλθών in margine add. R^2 ἀνὴρ Ν omm. ΒΓ | μηδαμῶς] μὴδαμῶς R ‖ v. 563 ποιήσῃς] ποιήσης Β | μηδ'] μὴ δ' RΒΓ μήδ' Ν | ἀφέλῃ] ἀφέλη RΒΓ ἀφέλης Ν ‖ v. 564 ΑΝ. Α.] ὁ ανηρ πρ R πρά Ν omm. ΒΓ | δαιμόνι'] δαιμόνιε Γ ‖ v. 566 μηδένα] μὴδένα R ‖ v. 567 χ in μὴ 'νεχυραζόμενον] corr. est ex υ in R ἐνεχυραζόμενον (omisso μὴ) est in Β μήτ' ἐνχυραζόμενον in Γ ‖ v. 568 ΑΝ. Α.] ὁ αλλος R ἄλλος ἀνὴρ Ν omm. ΒΓ | μεγάλα γ', εἰ] μεγάλ', εἰ ΒΓ μεγάλά γ' εἰ Ν ‖ v. 569 ΠΡΑ.] omm. RΒΓ | τοῦθ',] τὸν δ', Β | ὥστε σέ τέ μοι] ὥστέ σε γέ μοι R ὅστις ἂν μοι Β ὅστις γέ μοι ΓΝ | μαρτυρεῖν] μαρτυρῇ Β ‖ v. 570 μηδὲν] μὴδὲν R | ἔχειν] ἐμοί corr. ex ἐμοὶ R ἐμοὶ est in Β ἐμοί ΓΝ ‖ verba in vv. 571—581 ita disposita sunt, ut singuli versus finiantur vocabulis: καὶ | ἐγείρειν | ἐπισταμένην | ἀμύνειν | εὐτυχίαισιν | ἔρχεται | πολίτην | ἐπαγλαϊοῦσα |. βίον | καιρὸς | ἐξ (in ἐξευρήματος) | ἡμῶν | μόνον | μή (in μήτ') | πρότερον | παλαιὰ | θεῶνται R —

ΧΟΡ. *νῦν δὴ δεῖ σε πυκνὴν φρένα καὶ φιλόμουσον ἐγεί-*
ρειν
φροντίδ' ἐπισταμένην
ταῖσι φίλαισιν ἀμύνειν.
κοινῇ γὰρ ἐπ' εὐτυχίαισιν
ἔρχεται γνώμης ἐπίνοια, πόλιν καὶ
δῆμον ἐπαγλαϊοῦσα
μυρίαισιν ὠφελίαισι βίου· δη-
λοῦν δ' ὅ τί περ δύνασαι
καιρός, ὡς δεῖταί γε σοφοῦ τινὸς ἐξευ-
ρήματος ἡ πόλις ἡμῶν.
ἀλλὰ πέραινε μόνον
μήτε δεδραμένα μήτ' εἰ-
ρημένα πω πρότερον·
μισοῦσι γὰρ ἢν τὰ παλαιὰ
πολλάκις θεῶνται.

ADNOTATIO CRITICA.

v. 571 *φιλόμουσον* e coniectura scripsi cfr. Nubes v. 358. — v. 574 *γνώμης* Marklandus. — *πόλιν καὶ δῆμον* pro *πολίτην δῆμον* codicum scripsi. — vv. 576 et 577 *δηλοῦν δ' ὅ τί περ δύνασαι καιρός* Blaydesius, reliqua: *ὡς δεῖταί γε σοφοῦ* ipse refingere conatus sum, sed omnia haec, ut in loco difficillimo, admodum incerta esse ipse non ignoro.

SCRIPTURAE DISCREPANTIA.

φιλό (in *φιλόσοφον*) | *ἐπισταμένην* | *ἐ* (in *ἐπ'*) | *εὐτυχίαισιν* | *πολίτην* | *βίου* | *καιρὸς* | *ἡμῶν* | *μή* (in *μήτ'*) | (*πρότερον B*) | *θεῶνται BΓ* — *καὶ* | *ἐπισταμένην* | *εὐτυχίαισιν* | *πολίτην* | *βίου* | *καιρὸς* | *ἡμῶν* | *μή* (in *μήτ'*) | *πρότερον* | *θεῶνται N* — v. 571 *ΧΟΡ.*] omm. *BΓ* | *δὴ*] corr. ex *δῆ N* | *σε*] *γε B* | *πυκνὴν*] *πυκνὰν N* | *φιλόμουσον*] *φιλόσοφον RBΓN* ‖ v. 573 *κοινῇ*] *κοινὴ RBΓ* *κοινῆ N* | *ἐπ' εὐτυχίαισιν*] *ἐπευτυχίαισιν R* ‖ v. 574 *γνώμης*] *γλώττης RBΓN* | *πόλιν καὶ*] *πολίτην RBΓN* ‖ v. 575 *ἐπαγλαϊοῦσα*] *ἐπ' ἀγλαϊουσα R* *ἐπαγλαΐουσα Γ* | *ὠφελίαισι*] *εὐτυχίαισιν B* *εὐτυχίαισι ΓN* | *δηλοῦν δ'*] *δηλοῦν RBΓN* | *ὅ τί περ*] *ὅτι περ RBΓN* | *δύνασαι*] *δύναται RBΓN* ‖ v. 576 *ὡς δεῖταί γε*] *δεῖται γὰρ τοῖ γε* (hoc correctum ex *τοί γε*) *R* *δεῖται γὰρ τοι BN* *δεῖται γάρ τοι Γ* | *τινὸς*] *τινος N* ‖ v. 577 *ἡμῶν*] *ἡμων R* corr. in *ἧμων* R^2 | *πέραινε*] corr. ex *πέραινέ N* ‖ v. 578 posterius *δ* in *δεδραμένα*] corr. prima manus ex *ω*, ut videtur, in *B* | *μήτ'*] *μή* | *τ'* corr. ex *μήτ'* | *τ'* in *R* | in ras. est *η*, qua rasura deletae sunt etiam duae quaedam aliae post *μή* litterae in *B* ‖ v. 579 *εἰρημένα πω*] *εἰρημένά πω RBN* ‖ v. 580 *ἢν*] *ἠν̓ R* ‖ v. 581 *ΚΟΡ.*] omm. *RBΓN* | *χρὴ*] *χρῆν RΓ* *'χρῆν N*

ΚΟΡ. ἀλλ' οὐ μέλλειν, ἀλλ' ἅπτεσθαι καὶ δὴ χρὴ ταῖς διανοίαις,
ὡς τὸ ταχύνειν χαρίτων μετέχει πλεῖστον παρὰ τοῖσι θεαταῖς.
ΠΡΑ. καὶ μὴν ὅτι μὲν χρηστὰ διδάξω πιστεύω· τοὺς δὲ θεατάς,
εἰ καινοτομεῖν ἐθελήσουσιν καὶ μὴ τοῖς ἠθάσι λίαν
τοῖς τ' ἀρχαίοις ἐνδιατρίβειν, τοῦτ' ἔσθ' ὃ μάλιστα δέδοικα.
ΒΛΕ. περὶ μὲν τοίνυν τοῦ καινοτομεῖν μὴ δείσῃς· τοῦτο γὰρ ἡμῖν
δρᾶν ἀντ' ἄλλης ἀρετῆς ἐστιν, τῶν δ' ἀρχαίων ἀμελῆσαι.
ΠΡΑ. μή νυν πρότερον μηδεὶς ὑμῶν ἀντείπῃ μηδ' ὑποκρούσῃ,
πρὶν ἐπίστασθαι τὴν ἐπίνοιαν καὶ τοῦ φράζοντος ἀκοῦσαι.
κοινωνεῖν γὰρ πάντας φήσω χρῆναι πάντων μετέχοντας,
κἀκ ταὐτοῦ ζῆν καὶ μὴ τὸν μὲν πλουτεῖν, τὸν δ' ἄθλιον εἶναι,

ADNOTATIO CRITICA.

v. 587 ἀρετῆς (pro ἀρχῆς) Bergkius, sed nescio, an praestet, ut retineamus ἀρχῆς vocab. (cfr. scholium: ἀντὶ τοῦ ἄρχειν τὸ καινοτομεῖν.) ita, ut scribendum sit: δρᾶν ἀντ' ἀρχῆς μεγάλης ἐστίν cfr. Vesp. 575.

SCRIPTURAE DISCREPANTIA.

v. 582 πλεῖστον] ras. corr. ex πλείστων in *R* | παρὰ τοῖσι] παρα τοισι *R* ‖ v. 583 *ΠΡΑ.*] omm. *ΒΓ* ‖ v. 584 ἐθελήσουσιν] ἐθελήσουσι *ΒΓ* | super ἠθάσι] scriptum a prima manu: γρ. ἤθεσι in *Β* ‖ v. 585 τοῖς τ' ἀρχαίοις] τοῖς ἀρχαίοις *ΒΓ* | τοὺτ'] τοῦθ' *Ν* ‖ v. 586 *ΒΛΕ.*] — *R* omm. *ΒΓ* | δείσῃς] δείσης *ΒΓΝ* | ἡμῖν] ἧμιν *ΓΝ* ‖ v. 587 ἀρετῆς] ἀρχῆς *RΒΝ* ἀρχης *Γ* | ἐστιν] ἐστι *ΒΝ* ἐστί *Γ* ‖ v. 588 *ΠΡΑ.*] omm. *RΒΓ* | μή νυν] μὴ νῦν *RΒΓΝ* | μηδεὶς] μὴδεὶς *R* | ὑμῶν] ὗμων *R* | ἀντείπῃ] ἀντείπη corr. ex ἀντείπει *R* ἀντείπῃ est in *ΒΓΝ* | μηδ'] μὴ δ' *RΒΓΝ* | ὑποκρούσῃ] ἀποκρούσῃ *ΒΓ* ὑποκρούσῃ *Ν* ‖ v. 590 μετέχοντας] μετέχοντες *Ν* ‖ v. 591 κἀκ] κὰκ' *R* | ταὐτοῦ] ταυτοῦ *Β* τ' αὐτοῦ *Ν* | τὸν δ'] τόν δ' *RΓ*

μηδὲ γεωργεῖν τὸν μὲν πολλήν, τῷ δ' εἶναι μηδὲ ταφῆναι·
μηδ' ἀνδραπόδοις τὸν μὲν χρῆσθαι πολλοῖς, τὸν δ' οὐδ' ἀκολούθῳ·
ἀλλ' ἕνα ποιῶ κοινὸν πᾶσιν βίοτον καὶ τοῦτον ὅμοιον.
ΒΛΕ. πῶς οὖν ἔσται κοινὸς ἅπασιν; ΠΡΑ. κατέδει πέλεθον πρότερος σύ.
ΒΛΕ. καὶ τῶν πελέθων κοινωνοῦμεν; ΠΡΑ. μὰ Δί', ἀλλ' ἔφθης μ' ὑποκρούσας.
τοῦτο γὰρ ἤμελλον ἐγὼ λέξειν· τὴν γῆν πρώτιστα ποιήσω
κοινὴν πάντων καὶ τοὺς καρποὺς καὶ τἄλλ' ὁπόσ' ἐστὶν ἑκάστῳ.
εἶτ' ἀπὸ τούτων κοινῶν ὄντων ἡμεῖς βοσκήσομεν ὑμᾶς

ADNOTATIO CRITICA.

v. 595 *κατέδει* Brunckius. — *πέλεθον* Bothius. — *σύ* scripsi pro *μου RB μοι ΓΝ*, in hunc locum $\overset{\text{μοι}}{\text{μου}}$ irrepsit ex proximi versus $\overset{\text{μοι B}}{\text{μ'}}$ *RΓΝ ὑποκρούσας*. Ceterum *κατέδει πέλεθον* verba eiusmodi locutio esse videntur, qua in eum utebantur, qui temere obloquebatur = os tibi caeno referciam, nisi taces = linguam tuam comprimam; *πρότερος* autem comparativus ad alterum illum virum (*ΑΝ. Α.*) spectat, qui et ipse adest. — v. 596 *πελέθων* Bothius. — v. 598 *τοὺς καρποὺς* pro *τἀργύριον* codicum e coniectura scripsi.

SCRIPTURAE DISCREPANTIA.

v. 592 *μηδὲ*] *μήδε R καὶ μὴ ΓΒ μὴ δὲ Ν* | *πολλήν*] *πολλὰ Β* | *τῷ*] *τῶ ΒΝ* | *μηδὲ*] *μήδε R μὴ δὲ ΒΓΝ* ‖ v. 593 *μηδ'*] *μὴ δ' RΒΓΝ* | *τὸν δ'*] *τόνδ' RΓ* | *οὐδ'*] om. *Ν* | *ἀκολούθῳ*] *ἀκολούθοις* (in ras., sed a prima manu est *κολουθοις*, pro *οις* in exitu vocabuli fuerat *ω*) *Β ἀλούθῳ* est in *Γ ἀκολούθω Ν* ‖ v. 594 *ποιῶ*] *ποῶ Γ* | *κοινὸν*] omm. *ΒΓ* | *πᾶσιν*] *πᾶσι RΒΓΝ* ‖ v. 595 *ΒΛΕ.*] omm. *RΒΓ* | *ἅπασιν*] *ἅπασι RΒΓΝ* | *ΠΡΑ.*] : *R* omm. *ΒΓ* | *κατέδει*] *κατεδεῖ RΒΓΝ* | *πέλεθον*] *σπελεθὸν* ex *σπέλεθον* corr. *R σπέλεθον* est in *ΒΓ σπελεθὸν Ν* | *σύ*] *μου RΒ μοι ΓΝ* ‖ v. 596 *ΒΛΕ.*] omm. *RΒΓ* | *πελέθων*] *σπελεθῶν RΓΝ σπελέθων Β* | *κοινωνοῦμεν;*] *κοινωνοῦμεν* : *RΓ* | *ΠΡΑ.*] omm. *RΒΓ* | *μα δί' ἀλλ' εφθης μ' ὑποκρούσας* verba suum versum efficiunt in *R* | *μ'*] *μοι Β* ‖ v. 597 *ποιήσω*] *ποήσω Γ* ‖ v. 598 *τοὺς καρποὺς*] *τ' ἀργύριον RΝ τἀργύριον ΒΓ* | *τἄλλ'*] *τ' ἄλλ' RΝ* | *ἐστὶν*] *εστιν R* | *ἑκάστῳ*] *ἑκάστω RΒΓΝ* ‖ v. 599 *ἀπὸ τούτων*] *ἀποτούτων R* | prius *τ* in *τούτων*] in ras. est, sed a prima manu *Β* | *κοινῶν*] *καὶ τῶν Ν*

ταμιευόμεναι καὶ φειδόμεναι καὶ τὴν γνώμην προσέχουσαι.
ΒΛΕ. πῶς οὖν ὅστις μὴ κέκτηται γῆν ἡμῶν, ἀργύριον δὲ καὶ Δαρεικούς, ἀφανῆ πλοῦτον; ΠΡΑ. τοῦτ' εἰς τὸ μέσον καταθήσει,
καὶ μὴ καταθεὶς ΒΛΕ. ψευδορκήσει· κἀκτήσατο γὰρ διὰ τοῦτο.
ΠΡΑ. ἀλλ' οὐδέν τοι χρήσιμον ἔσται πάντως αὐτῷ. ΒΛΕ. κατὰ δὴ τί;
ΠΡΑ. οὐδεὶς οὐδὲν πενίᾳ δράσει· πάντα γὰρ ἕξουσιν ἅπαντες,
ἄρτους, τεμάχη, μάζας, χλαίνας, οἶνον, στεφάνους, ἐρεβίνθους.
ὥστε τί κέρδος μὴ καταθεῖναι; σὺ γὰρ ἐξευρὼν ἀπόδειξον.
ΒΛΕ. οὔκουν καὶ νῦν οὗτοι μᾶλλον κλέπτουσ', οἷς ταῦτα πάρεστι;
ΑΝ. Α. πρότερόν γ', ὦταῖρ', ὅτε τοῖσι νόμοις ἔτ' ἐχρώμεθα τοῖς προτέροισιν·

ADNOTATIO CRITICA.

v. 603 καταθεὶς ΒΛΕ. ψευδορκήσει· κἀκτήσατο Meinekius. — v. 609 ΑΝ. Α. versui praefixi. — ἔτ' ἐχρώμεθα Meinekius.

SCRIPTURAE DISCREPANTIA.

v. 600 ταμιευόμεναι] ταμιευόμαι Ν | προσέχουσαι] corr. ex προέχουσαι R ‖ v. 601 ΒΛΕ.] omm. RΒΓ | ἡμῶν] ἥμων R ‖ v. 602 ΠΡΑ.] omm. RΒΓ | τοῦτ'] τοῦτον Β | εἰς] ες R ἐς ΒΓΝ ‖ v. 603 καταθεὶς] κατὰ θεὶς R | ΒΛΕ.] omm. RΒΓΝ | ψευδορκήσει] ψευδομόσει (in ras., sed a prima manu est σε) Β | κἀκτήσατο] κακτήσατο R βλε κἀκτήσατο (πρ supra) Ν | διὰ τοῦτο] δια τοῦτο RΓΝ ‖ v. 604 ΠΡΑ.] — R omm. ΒΓ | τοι] τι Β | αὐτῷ] αὐτῶ ΒΓΝ | ΒΛΕ.] : R omm. ΒΓ | κατὰ] κἀτα ΒΓ (κατα R) ‖ v. 605 ΠΡΑ.] — R omm. ΒΓ | οὐδὲν] οὐδ' ἐν R οὐδ' ἐν Ν | πενίᾳ] πενία RΝ πνεύματι ΒΓ ‖ v. 606 χλαίνας] χλαῖνας Ν ‖ v. 607 τί] τὶ Β ‖ v. 608 ΒΛΕ.] omm. RΒΓ | μᾶλλον] om. Β | κλέπτουσ'] κλέπτους Ν | οἷς] corr. ex οἶς R | πάρεστι] πάρεστιν Β ‖ v. 609 ΑΝ. Α.] πρα (ξ supra) Ν omm. RΒΓ | πρότερόν γ'] προτοῦ γ' Β προτερον γ' Γ πρώτερον γ' Ν | ὦταῖρ'] ὦτέρ' R ὦ τὰν Β ὦ 'ταιρ Γ | ὅτε τοῖσι] τούτοισι Β (οτε τοῖσι Γ) | ἔτ' ἐχρώμεθα] διεχρώμεθα RΒΓΝ | προτέροισιν] προ-

νῦν δ', ἔσται γὰρ βίος ἐκ κοινοῦ, τί τὸ κέρδος μὴ καταθεῖναι;
ΒΛΕ. ἢν μείρακ' ἰδὼν ἐπιθυμήσῃ καὶ βούληται σκαλαθῦραι,
ἕξει τούτων ἀφελὼν δοῦναι· τῶν ἐκ κοινοῦ δὲ μεθέξει
ξυγκαταδαρθών. ΠΡΑ. ἀλλ' ἐξέσται προῖκ' αὐτῷ ξυγκαταδαρθεῖν.
καὶ ταύτας γὰρ κοινὰς ποιῶ τοῖς ἀνδράσι συγκατακεῖσθαι
καὶ παιδοποιεῖν τῷ βουλομένῳ. ΒΛΕ. πῶς οὖν οὐ πάντες ἴασιν
ἐπὶ τὴν ὡραιοτάτην αὐτῶν καὶ ζητήσουσιν ἐρείδειν;
ΠΡΑ. αἱ φαυλότεραι καὶ σιμότεραι παρὰ τὰς σεμνὰς καθεδοῦνται·
κᾆτ' ἢν ταύτης ἐπιθυμήσῃ, τὴν αἰσχρὰν πρῶθ' ὑποκρούσει.

ADNOTATIO CRITICA.

v. 614 *συγκατακεῖσθαι* Brunckius.

SCRIPTURAE DISCREPANTIA.

τέροισι RN προτέροις B | huius versus verba priora usque ad *νόμοις* incl. antecedenti versui adiecta sunt, reliqua insequenti in *Γ* ‖ v. 610 *τί*] corr. ex *τι* R^2 *τὶ* est in *B* ‖ v. 611 *ΒΛΕ.*] omm. *RBΓ* | *ἢν*] *ἦν R* | *ἐπιθυμήσῃ*] *ἐπιθυμήση BΓN* | *βούληται*] *βούλει ταῖ R βούλεται ΓN* | *σκαλαθῦραι*] *τοῦτον σκωλωθύραι B τοῦτον σκαλαθύραι ΓN* ‖ v. 612 *ἀφελὼν*] *ἀφελῶν N* | hic versus cum versu 613 in unum versum coniunctus est in *Γ* ‖ v. 613 *ξυγκαταδαρθών*] *ξυγκαταδραθών R οὐκ B ξυγκαταδραθων Γ* | *ΠΡΑ.*] : *R* omm. *BΓ* | *προῖκ'*] *προῖκα γ' B προῖκα Γ* | *αὐτῷ*] *αὐταῖς B* om. *Γ αὐτῶ N* | *ξυγκαταδαρθεῖν*] *καταδαρθεῖν Γ* ‖ v. 614 versui praefixum est *βλε* (superscr. *πρ*) in *N* | *ταύτας*] corr. ex *ταῦτας* R^2 | *ποιῶ*] *ποῶ Γ* | *ἀνδράσι*] corr. ex *ἀνδρᾶσι R* | *συγκατακεῖσθαι*] *ξυγκατακεῖσθαι RN ξυγκαταδαρθεῖν BΓ* ‖ v. 615 *τῷ βουλομένῳ*] *τῶ βουλομένω BN τῷ βυλευμένω Γ* | *ΒΛΕ.*] : *R* omm. *BΓN* | *οὐ πάντες*] *πάντες γὰρ B πάντες Γ* | *ἴασιν*] *ἴσασιν BΓ* ‖ v. 616 *ἐπὶ τὴν*] *ἐπιτὴν R ὅτι που ἐπὶ τὴν B* | *καὶ*] omm. *BΓ* | *ζητήσουσιν*] *ζητοῦσιν BΓN* ‖ v. 617 *ΠΡΑ.*] omm. *RBΓ* | *καθεδοῦνται*] *καθευδοῦνται N* ‖ v. 618 *κᾆτ'*] *κἂτ' R κἆτ' BΓN* | *ἢν*] *ἦν R* | *ἐπιθυμήσῃ*] *ἐπιθυμήση BΓN* | *ὑποκρούσει*] *ὑπαφήσει B*

ΒΛΕ. καὶ πῶς ἡμᾶς τοὺς πρεσβύτας, ἢν ταῖς αἰσχραῖσι συνῶμεν,
οὐκ ἐπιλείψει τὸ πέος πρότερον πρὶν ἐκεῖσ' οἷ φῂς ἀφικέσθαι;
ΠΡΑ. οὐχὶ μαχοῦνται. περὶ σοῦ θάρρει· μὴ δείσῃς· οὐχὶ μαχοῦνται.
ΒΛΕ. περὶ τοῦ; *ΠΡΑ.* περὶ τοῦ ξυγκαταδαρθεῖν. καὶ σοὶ τοιοῦτον ὑπάρχει.
ΒΛΕ. τὸ μὲν ὑμέτερον γνώμην τιν' ἔχει· προβεβούλευται γάρ, ὅπως ἂν
μηδεμιᾶς ᾖ τρύπημα κενόν· τὸ δὲ τῶν ἀνδρῶν τί ποιήσει;
φεύξονται γὰρ τοὺς αἰσχίους, ἐπὶ τοὺς δὲ καλοὺς βαδιοῦνται.
ΠΡΑ. ἀλλὰ φυλάξουσ' οἱ φαυλότεροι τοὺς καλλίους ἀπιόντας

ADNOTATIO CRITICA.

vv. 621 et 622 in versu 621 Dobraeum secutus sum, in v. 622 περὶ τοῦ ξυγκαταδαρθεῖν scripsi pro τοῦ μὴ ξυγκαταδαρθεῖν codicum. Illudit enim Praxagora leniter maritum petulantem, ut senem cfr. v. 323: „De senibus, qualis tu es, inter se non certabunt mulieres, sed de adulescentibus solis."

SCRIPTURAE DISCREPANTIA.

v. 619 *ΒΛΕ.*] omm. *RBΓ* | ἢν] ἢν R | συνῶμεν] ξυνῶμεν *ΓN* ‖ v. 620 ἐπιλείψει] ἐπιλειψει corr. ex ἐπιληψει *R* illud corr. in ἐπιλείψει R^2 | φῂς] φῇς corr. ex φῆς *R* illud corr. in φὴς R^2 φὴς est in *BΓN* ‖ v. 621 *ΠΡΑ.*] omm. *RBΓ* | περὶ σοῦ] περὶ σου· *BN* | θάρρει] θάρρ' εἰ *Γ* | δείσῃς] δείσης *BΓN* | οὐχὶ] : οὐχὶ *R* $βλε^{πρ}$ οὐχὶ *N* ‖ v. 622 *ΒΛΕ.*] omm. *RBΓ* | *ΠΡΑ.*] : *RΓ* om. *B* | alterum περὶ τοῦ] τοῦ μὴ *RBΓN* | supra secundum α in ξυγκαταδαρθεῖν] erasus est accentus in *R* | καὶ σοὶ] : καί σοι *R* καὶ σοι *B* καί σοί *Γ* $βλε^{πρ}$ καί σοι *N* | τοιοῦτον] τοιούτων *N* | ὑπάρχει] ὑπάρξει *N* ‖ v. 623 *ΒΛΕ.*] omm. *RBΓ* | ὑμέτερον] ἡμέτερον *BN* | τιν'] τίν' *RBΓ* | supra prius ο in προβεβούλευται] accentus erasus est in *R* | ὅπως ἂν verba insequenti versui adiecta sunt in *BΓ* ‖ v. 624 μηδεμιᾶς] μὴ δὲ μιᾶς *R* μὴ δε μιᾶς *Γ* | ᾖ] ῆ ut vid. *R* corr. in ἦ R^2 ῆ est in *BN* ἦ *Γ* | τὸ] : τὸ *R* | ποιήσει] ποησει *R* ‖ v. 625 ἐπὶ τοὺς δὲ] ἐπι τοὺς δὲ *R* ἐπὶ δὲ τοὺς *BΓN* ‖ v. 626 *ΠΡΑ.*] omm. *RBΓ*

ἀπὸ τοῦ δείπνου καὶ τηρήσουσ' ἐπὶ τοῖσιν δημοσίοισιν
* * * * *κοὐκ ἐξέσται παρὰ τοῖσι καλοῖς καταδαρθεῖν*
ταῖσι γυναιξὶ πρὶν ἂν τοῖς αἰσχροῖς καὶ τοῖς σιμοῖς χαρίσωνται.
ΒΛΕ. ἡ Λυσικράτους ἄρα νυνὶ ῥὶς ἴσα τοῖσι καλοῖσι φρονήσει.
ΠΡΑ. νὴ τὸν Ἀπόλλω· καὶ δημοτική γ' ἡ γνώμη καὶ καταχήνη
τῶν σεμνοτέρων ἔσται πολλὴ καὶ τῶν σφραγῖδας ἐχόντων,
ὅταν Ἐμβαδίων εἴπῃ, προτέρῳ παραχώρει κᾆτ' ἐπιτήρει,
ὅταν ἤδη 'γὼ διαπραξάμενος παραδῶ σοι δευτεριάζειν.
ΒΛΕ. πῶς οὖν οὕτω ζώντων ἡμῶν τοὺς αὑτοῦ παῖδας ἕκαστος

ADNOTATIO CRITICA.

v. 628 *οἱ φαυλότεροι* delevit Tyrwhittus, excidisse videtur participium velut *ἐφεδρεύοντες*. — v. 629 *ταῖσι γυναιξὶ πρὶν ἂν τοῖς* Elmsleius. — *σιμοῖς* Lennepius. — v. 633 *Ἐμβαδίων* D. Heinsius. — *προτέρῳ* Faber.

SCRIPTURAE DISCREPANTIA.

v. 627 *ἐπὶ τοῖσιν*] *ἐπι τοῖσιν R ἐπὶ τοῖσι ΒΓΝ* | *δημοσίοισιν*] *δημοσίοισι Β* ‖ v. 628 omissus est in *ΒΓ* | * * * *] *οἱ φαυλότεροι RN* | *κοὐκ*] *κ' οὐκ R* | *παρὰ τοῖσι*] *παρα τοῖσι R* ‖ v. 629 *ταῖσι γυναιξὶ πρὶν ἂν τοῖς*] *ταῖσι γυναιξὶν πρὶν τοῖς RB ταῖς γυναιξίν· πρὶν τοῖς Γ ταῖς γυναιξὶν, πρὶν τοῖς Ν* | *σιμοῖς*] *μικροῖς RΓΝ μικροῖσσι Β* | *χαρίσωνται*] *χαρίσονται R χωρὶς Β χαρί Γ* ‖ v. 630 *ΒΛΕ.*] omm. *RΒΓ* | *ῥὶς*] *ρὶς R* | *τοῖσι*] *τοῖς Β* | *καλοῖσι*] *καλοῖς Γ* | *φρονήσει*] corr. ex *φρονησει R*[2] ‖ v. 631 *ΠΡΑ.*] omm. *RΒΓ* | *Ἀπόλλω*] *ἀπόλλω' R* | *δημοτική γ'*] *δημοτικὴ γ' Β δημοτικὴν ΓΝ* ‖ v. 632 in priore *τῶν*] in ras., sed a prima manu est *τῶ* in *Β* | *σφραγῖδας*] *σφραγίδας RΓ σφαγίδας Ν* ‖ v. 633 omissus est in *ΒΓ* | *ὅταν*] *ὅτ' ἂν RN* | *Ἐμβαδίων*] *ἐμβάδ' εχων R ἐμβάδ' Ν* | *εἴπῃ*] *εἴπη RN* | *προτέρῳ*] *πρότερος RN* | *κᾆτ'*] *κάτ' R κἀτ' Ν* ‖ v. 634 *ὅταν*] *ὅτ' ἀν R ὅτ' ἂν ΓΝ* | *'γὼ*] *γὼ R* | *διαπραξάμενος*] *παραταξάμενος ΒΓ* | *παραδῶ*] corr. ex *παρὰ δῶ R* ‖ v. 635 *ΒΛΕ.*] omm. *RΒΓ* | *αὑτοῦ*] corr. ut vid. ex *αὐτοῦ R αὐτοῦ* est in *ΓΝ*

ἔσται δυνατὸς διαγιγνώσκειν; ΠΡΑ. τί δὲ δεῖ; πατέρας γὰρ ἅπαντας
τοὺς πρεσβυτέρους αὐτῶν εἶναι τοῖσι χρόνοισιν νομιοῦσιν.
ΒΛΕ. οὐκοῦν εὖ καὶ χρηστῶς ἑξῆς ἄγξουσιν πάντα γέροντα
διὰ τὴν ἄγνοιαν, ἐπεὶ καὶ νῦν γιγνώσκοντες πατέρ' ὄντα
ἄγχουσι. τί δῆθ', ὅταν ἀγνὼς ᾖ; πῶς οὐ τότε κἀπιχεσοῦνται;
ΠΡΑ. ἀλλ' ὁ παρεστὼς οὐκ ἐπιτρέψει· τότε δ' αὐτοῖς οὐκ ἔμελ' οὐδὲν
τῶν ἀλλοτρίων, ὅστις τύπτοι· νῦν δ' ἢν πληγέντος ἀκούσῃ,
μὴ αὐτὸν ἐκεῖνον τύπτῃ δεδιώς, τοῖς δρῶσιν τοῦτο μαχεῖται.
ΒΛΕ. τὰ μὲν ἄλλα λέγεις οὐδὲν σκαιῶς· εἰ δὲ προσελθὼν Ἐπίκουρος,

---

ADNOTATIO CRITICA.

v. 636 *γὰρ* Faber. — v. 638 *τὸν* ante *πάντα* non ferendum esse recte censet Blaydesius, lenissima autem emendandi ratio mihi ea visa est, ut *ἄγξουσιν* post *ἑξῆς* transponam. — v. 643 *δρῶσιν* nescio quis primorum editorum, sed fortasse scribendum est: *τῷ δρῶντι τοιαῦτα μαχεῖται.*

SCRIPTURAE DISCREPANTIA.

v. 636 *ἔσται*] corr. ex *ἐσται* R^2 | *διαγιγνώσκειν*] *διαγινώσκειν* *ΒΓΝ* | *ΠΡΑ.*] : *RΓ* om. *B* | *δὲ*] *δαὶ* *ΒΓ* | *πατέρας*] *πρᾶσαν* *N* | *γὰρ*] omm. *RBΓN* ‖ v. 637 *αὐτῶν*] *αὑτῶν* *RBΓN* | *τοῖσι χρόνοισιν*] *τοῖσι χρόνοις* *B* *τοὶς χρόνοισι* *Γ* ‖ v. 638 *ΒΛΕ.*] omm. *RBΓ* | *οὐκοῦν*] *οὐκουν* corr. ex *οὐκοῦν* *R* *οὔκουν* est in *ΓN* | *εὖ*] *ἀγξωσ' εὖ* *R* *ἄγξουσ' εὖ* *ΒΓΝ* | *χρηστῶς*] *χρητῶς* *R* | *ἑξῆς*] omm. *ΒΓ* | *ἄγξουσιν πάντα*] *τὸν πάντα* *RBΓN* ‖ v. 639 *διὰ τὴν*] *διατὴν* *R* | *γιγνώσκοντες*] *γινώσκοντες* *B* | *ὄντα*] *ἐόντα* *N* (*όντα* *R*) ‖ v. 640 *ί* in *τί*] in ras. est, sed a prima manu in *B* | *ὅταν*] *ὅτ' ἂν* *RΓN* | *ᾖ*] *ἤ* *ΒΓΝ* (*ῇ* *R*) | *τότε*] *τοτε* *RΓ* | *κἀπιχεσοῦνται*] *κἀπιχευοῦνται* sed in margine adscriptum est *σ* ut videtur *B* ‖ v. 641 *ΠΡΑ.*] omm. *RBΓ* | *ἐπιτρέψει*] *επιτρίψει* *R* | alterum *οὐκ*] *οὔκ* *Γ* | *ἔμελ'*] *ἔμελλ'* *ΓN* ‖ v. 642 *ἢν*] *ἦν* *R* | *εν* in *πληγέντος*] in ras. est, sed a prima manu in *B* | *ἀκούσῃ*] *ἀκούσῃ* *RBΓN* ‖ v. 643 *τύπτῃ*] *τύπτει* *R* *τύψῃ* *B* *τύπτῃ* *ΓN* | *δρῶσιν*] *δρῶσι* *RBΓN* ‖ v. 644 *ΒΛΕ.*] omm. *RBΓ* | *Ἐπίκουρος*] *ἐπίουρος* *B*

ἢ Λευκολόφας, πάππαν με καλεῖ, τοῦτ' ἤδη δεινὸν ἀκοῦσαι.
ΑΝ. Α. πολὺ μέντοι δεινότερον τούτου τοῦ πράγματός ἐστι
ΒΛΕ. τὸ ποῖον;
ΑΝ. Α. εἴ σε φιλήσειεν Ἀρίστυλλος, φάσκων αὑτοῦ πατέρ' εἶναι.
ΒΛΕ. οἰμώζοι τἂν καὶ κωκύοι. ΑΝ. Α. σὺ δέ γ' ὄζοις ἂν καλαμίνθης.
ΠΡΑ. ἀλλ' οὗτος μὲν πρότερον γέγονεν, πρὶν τὸ ψήφισμα γενέσθαι,
ὥστ' οὐχὶ δέος μή σε φιλήσῃ. ΒΛΕ. δεινὸν μένταν ἐπεπόνθη.
τὴν γῆν δὲ τίς ἔσθ' ὁ γεωργήσων; ΠΡΑ. οἱ δοῦλοι. σοὶ δὲ μελήσει,

---

ADNOTATIO CRITICA.

v. 645 *πάππαν* Brunckius. — v. 646 *ΑΝ. Α.* praefigendum esse coniecit Bergkius. — v. 647 *αὑτοῦ* Kusterus, ceterum fortasse scribendum est: *εἴ σε φιλήσει κἀρίστυλλος*. — v. 648 *τἂν* Lentingius. — v. 650 *ἐπεπόνθη* Suidas.

SCRIPTURAE DISCREPANTIA.

v. 645 *Λευκολόφας*] *λευκολόφος R* | *πάππαν*] *πάπαν RBΓN* | *καλεῖ*] *καλῇ N* ‖ v. 646 *ΑΝ. Α.*] omm. *RBΓ* πρα (ξ supra) *N* | *τούτου*] corr. ex *τοῦτου R* | *ἐστι*] *ἔστι*: *Γ* | *ΒΛΕ.*] — *R* omm. *BΓ* | verba: — *τὸ ποῖον·* suum versum efficiunt in *R* ‖ v. 647 *ΑΝ. Α.*] omm. *RBΓ* πρα (ξ supra) *N* | *εἴ*] *εἰ N* | *φιλήσειεν*] *φιλήσει BΓ* | *αὑτοῦ*] *αὐτοῦ RBΓN* ‖ v. 648 *ΒΛΕ.*] omm. *RBΓ* | *τἂν*] *γ' ἂν RBΓ μ' ἂν N* | *κωκύοι*] *κωκκύοι B* | *ΑΝ. Α.*] omm. *RBΓ* πρα (ξ supra) *N* | *σὺ δέ γ'*] *σύ δέ γ' Γ* ‖ v. 649 *ΠΡΑ.*] omm. *RBΓN* | *οὗτος*] corr. ex *οὗτο R²* | *πρότερον*] *τὸ πρότερον Γ* | *γέγονεν*] *γέγονε BΓN* | *πρὶν*] in ras., sed a prima manu *ὶν B* *πρὸς* est in *Γ* | *τὸ*] in textu omissum supra versum in ras. adscriptum est in *B* | *γενέσθαι*] insequenti versui adiectum est in *Γ* ‖ v. 650 *μή*] *οὐ μή BΓ* | *φιλήσῃ*] *φιλήσει B φιλήση ΓN* | *ΒΛΕ.*] : *R* omm. *BΓ* | *μένταν*] *μὲν τ' ἂν RN μέντ' B μέντ' ἂν Γ* | *ἐπεπόνθη*] *επεπόνθειν R ἐπεπόνθειν BΓ ἐπεπόνθην N* ‖ v. 651 *τίς*] *τὶς B τῆς N* | *ΠΡΑ.*] : *R* omm. *BΓ* | *δοῦλοι*] *δούλοι R* | ante *σοὶ* spatium duarum fere litterarum, novae personae indicium, relictum est in *B* | *σοὶ δὲ*] *σὺ δε R* | *μελήσει*] corr. ex *μελήσηι R*

ὅταν ᾖ δεκάπουν τὸ στοιχεῖον, λιπαρῷ χωρεῖν ἐπὶ δεῖπνον.
ΒΛΕ. περὶ δ' ἱματίων τίς πόρος ἔσται; καὶ γὰρ τοῦτ' ἔστιν ἐρέσθαι.
ΠΡΑ. τὰ μὲν ὄνθ' ὑμῖν πρῶτον ὑπάρξει, τὰ δὲ λοίφ' ἡμεῖς ὑφανοῦμεν.
ΒΛΕ. ἓν ἔτι ζητῶ· πῶς, ἤν τις ὄφλῃ παρὰ τοῖς ἄρχουσι δίκην τῳ,
πόθεν ἐκτίσει ταύτην; ἀπὸ γὰρ τῶν κοινῶν γ' οὐχὶ δίκαιον.
ΠΡΑ. ἀλλ' οὐδὲ δίκαι πρῶτον ἔσονται. ΒΛΕ. τουτὶ τοὔπος σ' ἐπιτρίψει.
ΑΝ. Α. κἀγὼ ταύτην γνώμην ἐθέμην. ΠΡΑ. τοῦ γάρ, τάλαν, εἵνεκ' ἔσονται;
ΒΛΕ. πολλῶν ἕνεκεν νὴ τὸν Ἀπόλλω· πρῶτον δ' ἑνὸς εἵνεκα δήπου,

---

ADNOTATIO CRITICA.

v. 652 *λιπαρῷ* Bentleius. — v. 656 *ἀπὸ γὰρ τῶν κοινῶν γ' οὐχὶ δίκαιον.* e coniectura scripsi (*ἐκ γὰρ τῶν κοινῶν γ' οὐχὶ δίκαιον.* Blaydesius). — v. 657 *τουτὶ δὲ τοὔπος σ' ἐπιτρίψει* Meinekius.

SCRIPTURAE DISCREPANTIA.

v. 652 *ὅταν*] *ὅτ' ἂν* *RΓN* | *ᾖ*] *ῄ* *BΓN* (*ῇ* *R*) | *λιπαρῷ*] *λιπαρῶς* *RΓN* *λιπαρὸν* *B* ‖ v. 653 *ΒΛΕ.*] omm. *RBΓ* | *δ'*] *δὲ* *RN* om. *Γ* | *τίς*] *τὶς* *B* | *ἔστιν*] *εστιν* *R* *ἐστὶν* *BΓN* | *ἐρέσθαι*] *ἔρεσθαι* *R* ‖ v. 654 *ΠΡΑ.*] omm. *RBΓ* | *τὰ μὲν* vocabb. antecedenti versui adiecta sunt in *Γ* | *ὑμῖν*] *ὗμιν* *R* | *τὰ δὲ λοίφ'*] *τὰ δελοὶ φ'* *R* | *ἡμεῖς*] *ὑμεῖς* *B* | *ὑφανοῦμεν*] *φανοῦμεν* *Γ* (*υφανοῦμεν* *R*) ‖ v. 655 *ΒΛΕ.*] omm. *RBΓ* | *ἤν τις*] *ήν τις* corr. ex *ήν τι* R^2 *ὅταν* *B* *ἤτις* *Γ* *εἴ τις* *N* | *ὄφλῃ*] *ὄφλη* *BΓN* | *τῳ*] *τίς* *B* *τῶν* *Γ* *τῶ* *N* ‖ v. 656 *ἐκτίσει*] *κτίσῃ* *R* | *ἀπὸ γὰρ*] *οὐ γὰρ* *RBΓN* | *γ' οὐχὶ*] *γ' ἐστὶ* *RBΓ* *γ' ἔστι* *N* ‖ v. 657 *ΠΡΑ.*] omm. *RBΓ* | *δίκαι*] *δίκαια* *BΓ* | *ΒΛΕ.*] *χορὸς* *RΓ* om. *B* | *τοὔπος σ'*] *τ' οὖπος* *R* *πάλιν* *B* *ποσσ'* *Γ* *πόσσ'* *N* ‖ v. 658 *ΑΝ. Α.*] — *R* *βλε̄* *Γ* omm. *BN* | verba usque ad *ἐθέμην* antecedenti versui adiecta, reliqua omissa sunt in *Γ* | *κἀγὼ*] *καγὼ* *R* | omissa sunt, spatio vacuo relicto, verba: *ΠΡΑ.* *τοῦ γάρ . . . ἔσονται* in *B* ‖ *ΠΡΑ.*] : *R* | *τάλαν, εἵνεκ'*] *τάλαν' οὕνεκ'* *R* corr. in *τάλαν οὕνεκ'* R^2 *τάλαν οὕνεκ'* est in *N* ‖ v. 659 *ΒΛΕ.*] omm. *RBΓ* | *ἕνεκεν*] *ἕνεκε* *Γ* *οὕνεκεν* *N* | ante *νὴ* spatium trium fere litterarum, novae personae indicium, relictum est in *B* | *'Απόλλω*] *ἀπόλλω* *R* | *δ'*] om. *R*

ἤν τις ὀφείλων ἐξαρνῆται. ΠΡΑ. πόθεν οὖν ἐδάνεισ' ὁ δανείσας
ἐν τῷ κοινῷ πάντων ὄντων; κλέπτων δήπου' στ' ἐπίδηλος.
ΑΝ. Α. νὴ τὴν Δήμητρ' εὖ γε διδάσκεις. ΒΛΕ. τουτὶ τοίνυν φρασάτω μοι,
τὴν αἰκίας οἱ τύπτοντες πόθεν ἐκτίσουσιν, ἐπειδὰν εὐωχηθέντες ὑβρίζωσιν; τοῦτο γὰρ οἶμαί σ' ἀπορήσειν.
ΠΡΑ. ἀπὸ τῆς μάζης ἧς σιτεῖται· ταύτης γὰρ ὅταν τις ἀφαιρῇ,
οὐχ ὑβριεῖται φαύλως οὕτως αὖθις τῇ γαστρὶ κολασθείς.
ΒΛΕ. οὐδ' αὖ κλέπτης οὐδεὶς ἔσται; ΠΡΑ. πῶς γὰρ κλέψει μετὸν αὐτῷ;
ΒΛΕ. οὐδ' ἀποδύσουσ' ἄρα τῶν νυκτῶν; ΠΡΑ. οὔκ, ἢν οἴκοι γε καθεύδῃς.

ADNOTATIO CRITICA.

v. 662 versui *ΑΝ. Α.* praefixi. — v. 663 *τὴν* Dobraeus. — v. 667 *κλέψει* Brunckius.

SCRIPTURAE DISCREPANTIA.

v. 660 *ὀφείλων*] corr. ex *οφείλων* R^2 | *ἐξαρνῆται*] *ἐξαρνεῖται* *R* | *ΠΡΑ.*] : *R* omm. *ΒΓ* ‖ v. 661 *τῷ κοινῷ*] *τῶ κοινῶ* *ΒΓΝ* | *πάντων*] *πάντως* *Β* | *ὄντων*] omm. *ΒΓ* | *κλέπτων*] ex *κλεπτων* corr. R^2 | *δήπου*] *δ' ήπου* *R* | *'στ'*] *στ'* *R* *"στ'* *ΒΓ* ‖ v. 662 *ΑΝ. Α.*] *χορὸς* *RΓΝ* om. *Β* | *ΒΛΕ.*] | : *R* (*βλ.*^επ *Γ* *βλε*^πρ *Ν* spatium trium fere litterarum ante *τουτὶ* relictum in *Β*) | *τουτὶ*] *τοῦτὶ* *R* | *μοι*] *μρι* (sic) *R* *μοί* *Γ* ‖ v. 663 *τὴν*] *τῆς* *RΒΝ* *της* *Γ* | *αἰκίας*] *αἰκείας* *R* | *ἐκτίσουσιν*] *κτίσουσιν* *R* | *ἐπειδὰν*] *ἐπειδ' ὰν* *R* ‖ v. 664 *ὑβρίζωσιν*] *ὑβρίζουσι* *Γ* *ὑβρίζωσι* *Ν* | *οἶμαί σ'*] ex *οἷμαί σ'* corr. R^2 *οἶμαι σ'* est in *Β* ‖ v. 665 *ΠΡΑ.*] omm. *RΒΓ* | *ἀπὸ τῆς*] *ἀποτῆς* *R* | *ταύτης*] *ταύτην* *ΒΓΝ* | *ὅταν*] *ὅτ' αν* *R* *ὅτάν* *ΒΓ* *ὅτ' ἄν* *Ν* | *τις*] *τίς* *R* | *ἀφαιρῇ*] *ἀφαιρῆ* *ΒΓΝ* ‖ v. 666 *οὐχ*] *οὐχ'* *RΓΝ* | *φαύλως*] *φ'αυλως* (unius litterae spatio relicto) *Ν* | *αὖθις*] omm. *ΒΓΝ* | *τῇ*] *τῆ* *ΒΝ* ‖ v. 667 *ΒΛΕ.*] omm. *RΒΓ* | *οὐδ'*] *ὀδ'* *Ν* | *κλέπτης*] corr. ex *κλεπτης* R^2 | *οὐδεὶς*] *οὐδεῖς* *R* | *ΠΡΑ.*] omm. *RΒΓ* | *κλέψει*] *κλέψαι* *RΒΓΝ* | *αὐτῷ*] *αὐτῶ* *ΒΓΝ* ‖ v. 668 *ΒΛΕ.*] omm. *RΒΓ* | *ἄρα*] *ἆρα* *R* | *ΠΡΑ.*] : *R* omm. *ΒΓ* | *οὔκ*] *οὔκ'* *R* *οὒκ* *Β* | *ἢν*] *ἠν̃* *R* | *γε*] omm. *ΒΓ* | *καθεύδῃς*] *καθεύδης* *RΒΓΝ*

ΒΛΕ. οὐδ' ἤν γε θύραζ', ὥσπερ πρότερον; *ΠΡΑ.* βίοτος γὰρ πᾶσιν ὑπάρξει.
ἢν δ' ἀποδύῃ γ', αὐτὸς δώσει. τί γὰρ αὐτῷ πρᾶγμα μάχεσθαι;
ἕτερον γὰρ ἰὼν ἐκ τοῦ κοινοῦ κρεῖττον ἐκείνου κομιεῖται.
ΒΛΕ. οὐδὲ κυβεύσουσ' ἄρ' ἄνθρωποι; *ΠΡΑ.* περὶ τοῦ γὰρ τοῦτο ποιήσει;
ΒΛΕ. τὴν δὲ δίαιταν τίνα ποιήσεις; *ΠΡΑ.* κοινὴν πᾶσιν. τὸ γὰρ ἄστυ
μίαν οἴκησίν φημι ποιήσειν συρρήξασ' εἰς ἓν ἅπαντα,
ὥστε βαδίζειν ὡς ἀλλήλους. *ΒΛΕ.* τὸ δὲ δεῖπνον ποῦ παραθήσεις;
ΠΡΑ. τὰ δικαστήρια καὶ τὰς στοιὰς ἀνδρῶνας πάντα ποιήσω.
ΒΛΕ. τὸ δὲ βῆμα τί σοι χρήσιμον ἔσται; *ΠΡΑ.* τοὺς κρατῆρας καταθήσω

ADNOTATIO CRITICA.

v. 669 versui praef. *ΒΛΕ.* Dobraeus. — v. 672 ἄνθρωποι Dindorfius — fortasse in exitu versus scribendum est: ποιήσεις;

SCRIPTURAE DISCREPANTIA.

v. 669 *ΒΛΕ.*] omm. *RΒΓΝ* | ἤν] ἢ'ν *R* | γε] σε *B* | *ΠΡΑ.*] : *R* omm. *ΒΓΝ* ‖ v. 670 ἢν] ἢ'ν *R* | ἀποδύῃ] αποδύη *R* ἀποδύη *ΒΓΝ* | αὐτὸς] : αὐτὸς *R* | τί] τὶ *B* | αὐτῷ] αὐτῶ *ΒΓΝ* ‖ v. 671 ἐκείνου] corr. ex ἐκεῖνου *R* | ἐκείνου κομιεῖται] κομιεῖται ἐκείνου *N* ‖ v. 672 *ΒΛΕ.*] omm. *RΒΓ* | οὐδὲ] οὐδε *R* | κυβεύσουσ'] κυβεύσουσιν *B* | ἄρ'] ἄρ' *RΒΓΝ* | ἄνθρωποι] ἄνθρωποι *RΒΓΝ* | *ΠΡΑ.*] : *RΓ* om. *B* ‖ v. 673 *ΒΛΕ.*] omm. *RΒΓ* | δὲ] om. *Γ* | *ΠΡΑ.*] : *R* omm. *ΒΓ* | πᾶσιν] πᾶσι *ΓΝ* ‖ v. 674 οἴκησίν φημι] οἴκησιν φημὶ *RΒΓ* οἴκησιν φημί *N* | συρρήξασ'] συρρήξας *ΒΓ* συρρήξας' (sic) *N* ‖ v. 675 ὡς] εἰς *RB* | *ΒΛΕ.*] : *R* omm. *ΒΓ* | ο in δεῖπνον] in ras. est, sed a prima manu in *B* ‖ v. 676 *ΠΡΑ.*] omm. *RΒΓ* | τὰ] τὰ δὲ *ΒΓ* | δικαστήρια] δισκατήρια *R* | στοιὰς] corr. ex στοιᾶς *R* στοὰς est in *ΒΓ* | ante ἀνδρῶνας spatium trium fere litterarum, novae personae indicium, relictum est in *B* | ἀνδρῶνας πάντα] ἀνδρῶν ʽπάντα (non intellexit librarius compendium illud, quo pictum erat ας in ἀνδρῶνας vocabulo cfr. v. 636) *N* | πάντα] corr. ex παντα *R*² | ποιήσω] ποήσω *R* ‖ v. 677 *ΒΛΕ.*] omm. *RΒΓ* | *ΠΡΑ.*] : *RΓ* om. *B*

καὶ τὰς ὑδρίας, καὶ ῥαψῳδεῖν ἔσται τοῖς παιδαρίοισιν
τοὺς ἀνδρείους ἐν τῷ πολέμῳ, κεἴ τις δειλὸς γεγένηται,
ἵνα μὴ δειπνῶσ' αἰσχυνόμενοι. ΒΛΕ. *νὴ τὸν Ἀπόλλω χάριέν γε.*
τὰ δὲ κληρωτήρια ποῖ τρέψεις; ΠΡΑ. *εἰς τὴν ἀγορὰν καταθήσω·*
κᾆτα στήσασα παρ' Ἁρμοδίῳ κληρώσω πάντας, ἕως ἂν
εἰδὼς ὁ λαχὼν ἀπίῃ χαίρων ἐν ὁποίῳ γράμματι δειπνεῖ,
καὶ κηρύξῃ τοὺς ἐκ τοῦ βῆτ' ἐπὶ τὴν στοιὰν ἀκολουθεῖν
τὴν βασίλειον δειπνήσοντας· τὸ δὲ θῆτ' εἰς τὴν παρὰ ταύτην,
τοὺς δ' ἐκ τοῦ κάππ' εἰς τὴν στοιὰν χωρεῖν τὴν ἀλφιτόπωλιν.
ΒΛΕ. *ἵνα κάπτωσιν;* ΠΡΑ. *μὰ Δί', ἀλλ' ἵν' ἐκεῖ δειπνῶσιν.* ΒΛΕ. *ὅτῳ δὲ τὸ γράμμα*

SCRIPTURAE DISCREPANTIA.

v. 678 ὑδρίας] ὕδρας R corr. in ὑδριας R² | ῥαψῳδεῖν] ῥαψωδεῖν ΒΝ ῥαψῳδεῖν Γ | παιδαρίοισιν] παιδαρίοισι ΓΝ ‖ v. 679 τῷ πολέμῳ] τῶ πολέμω ΒΓΝ | κεἰ] κ' εἰ R ‖ v. 680 ΒΛΕ.] : R omm. ΒΓ | Ἀπόλλω] ἀπόλλω' R | χάριέν γε] corr. ex χάριεν γε R² χάριέν τε est in N ‖ v. 681 κληρωτήρια] corr. ex κληρωτηρία R | ΠΡΑ.] : RΓ om. Β | εἰς] ἐς ΒΓΝ | ἀγορὰν] corr. ex ἀγορᾶν R² | καταθήσω] καθήσω R ‖ v. 682 κᾆτα στήσασα] κᾶτα στῆσα R corr. in κᾶτα στήσασ' R² καταστήσασα est in Β κατα στήσασα Γ κᾶτα στήσασα Ν | Ἁρμοδίῳ] ἁρμοδίω ΒΓΝ ‖ v. 683 ἀπίῃ] ἀπήει R ἀπίη ΒΓΝ | ὁποίῳ] ὁποίω ΒΓΝ ‖ v. 684 κηρύξῃ] κηρύξει RN κηρύξη Β κήρυξε Γ | βῆτ'] βῆτα R | ἐπὶ] erat καὶ επι, sed deletum est καὶ R | τὴν] corr. ex την R² | στοιὰν] στοὰν ΒΓ ‖ v. 685 τὸ δὲ θῆτ' εἰς τὴν παρὰ ταύτην] τοὺς δ' ἐκ τοῦ θῆτα παρ' αὐτὴν Β τὸ δὲ θῆτ' ἐστι παρ' αὐτὴν Γ | εἰς] ες R ἐς Ν | παρὰ] corr. ex παρα R² ‖ v. 686 εἰς τὴν] ες την R | στοιὰν] στοὰν ΒΓ ‖ v. 687 ΒΛΕ.] omm. RΒΓΝ | κάπτωσιν] κάπτωσι ΒΓ | ΠΡΑ.] : RΓ βλε^πρ Ν om. Β | Δί'] δι' R | νῶσιν in δειπνῶσιν] in ras. est, sed a prima manu; etiam super δει rasura est in Β | ΒΛΕ.] omm. RΒΓΝ | ὅτῳ] ὅτο R ὅταν Β ὅτω ΓΝ | γράμμα] γρᾶμμα Γ

μὴ 'ξελκυσθῇ καθ' ὅ δειπνήσει; *ΠΡΑ.* τούτους ἀπε-
λῶσιν ἅπαντες.
ἀλλ' οὐκ ἔσται τοῦτο παρ' ἡμῖν.
πᾶσι γὰρ ἄφθονα πάντα παρέξομεν·
ὥστε μεθυσθεὶς αὐτῷ στεφάνῳ
πᾶς τις ἄπεισιν τὴν δᾷδα λαβών.
αἱ δὲ γυναῖκες κατὰ τὰς διόδους
προσπίπτουσαι τοῖς ἀπὸ δείπνου
τάδε λέξουσιν· δεῦρο παρ' ἡμᾶς·
ἐνθάδε μεῖράξ ἐσθ' ὡραία.
παρ' ἐμοὶ δ', ἑτέρα
φήσει τις ἄνωθ' ἐξ ὑπερῴου,
καὶ καλλίστη καὶ λευκοτάτη·
πρότερον μέντοι δεῖ σε καθεύδειν

ADNOTATIO CRITICA.

v. 688 *ΠΡΑ.* ante *τούτους* inseruit Lentingius.

SCRIPTURAE DISCREPANTIA.

